Ακαδημία Αθηνών / Academy of Athens



αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**Εἰς τὴν Μεταμόρφωσιν.**

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων.

---

## ΕΚΦΩΝΗΣΕΙΣ

Παρὰ τοῦ ἱερέως τῶν ἐννέα ᾠδῶν τοῦ κανόνος τῆς Μ. Κυριακῆς τοῦ Πάσχα καὶ ὅλης τῆς διακαινησίμου ἑβδομάδος, ἐκφωνούμεναι ἐν τέλει ἑκάστης ᾠδῆς, ἵνα μὴ ἐρωτᾷ ὁ ἱερεὺς τοὺς ἔξω καὶ γίνηται χασμῳδία.

Εἰς τὴν α' ᾠδήν.

Ὅτι Σὸν τὸ κράτος καὶ Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰς τὴν γ' ᾠδήν.

Ὅτι Σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι κ.τ.λ.

Εἰς τὴν δ' ᾠδήν.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν κ.τ.λ.

Εἰς τὴν ε' ᾠδήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρός, κ.τ.λ.

Ες τὴν ς΄ ᾠδὴν

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, κ.τ.λ.

Εἰς τὴν ζ΄ ᾠδήν.

Εἴη τὸ κράτος τῆς Βασιλείας Σου εὐλογημένον, τοῦ Πατρός, κ.τ.λ

Εἰς τὴν η΄ ᾠδήν.

Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρός, κ.τ.λ.

Εἶτα ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Εἰς τὸ τέλος τῆς θ΄ ᾠδῆς

Ὅτι Σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ Σοὶ τὴν τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, κ.τ.λ.

## Τὰ καθ' ἡμέραν προκείμενα.

Τῷ Σαββάτῳ ἑσπέρας, ἦχος β΄.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Τῇ Κυριακῇ ἑσπέρας, ἦχος πλ. δ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.

Τῇ Δευτέρᾳ ἑσπέρας, ἦχος δ΄.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ